ὑπὸ τῷ ποδὶ τῷ βασιλικῷ βάρβαροι τῶν χειρῶν[102] ὀπίσω δεδεμένοι κάτω τὰς κεφαλὰς νεύωσι κείμενοι. Καὶ ὅτι οὐ πιθανότητι κέχρημαι λόγων[103], ὑμεῖς μάρτυρες τῆς σπουδῆς καὶ τῆς συνδρομῆς[104]· καὶ γὰρ λαμπτὸν ἡμῖν τὸ θέατρον[105] σήμερον, καὶ φαιδρὸς ὁ σύλλογος, καὶ ὅσον ἐν τῷ Πάσχᾳ τῷ ἱερῷ δῆμον εἶδον ξυναγόμενον, τοσοῦτον ὁρῶ καὶ ἐνταῦθα νῦν. Καὶ οὕτω σιγῶν πάντας ἐκάλεσε, σάλπιγγος λαμπροτέραν φωνὴν διὰ τῶν πραγμάτων ἀφείς[106]. Καὶ παρθένοι θαλάμους, καὶ γυναῖκες γυναικῶνας, καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες, πάντες ἐνταῦθα συνεδράμετε, ἵνα τὴν ἀνθρωπίνην φύσιν ἴδητε ἐλεγχομένην[107], καὶ τῶν βιωτικῶν πραγμάτων τὸ ἐπίκηρον ἀπογυμνούμενον, καὶ τὴν πορνικὴν ὄψιν τὴν χθὲς καὶ πρώην φαιδρὸν[108] ἀπολάμπουσαν (καὶ γὰρ τοιοῦτον[109] ἡ εὐπραγία ἡ ἀπὸ τῶν πλεονεξιῶν), παντὸς γραϊδίου ῥυτίδας ἔχοντος αἰσχροτέραν[110] φαινομένην, καθάπερ σπογγιᾷ τινι[111] τῇ μεταβολῇ τὰ ἐπιτρίμματα[112] καὶ τὰς ἐπιγραφὰς[113] ἐκμάξασαν[114]. Τοιαύτη γὰρ τῆς δυσημερίας ταύτης ἡ ἰσχὺς, τὸν φαιδρὸν καὶ περιφανῆ, πάντων ἐποίησεν εὐτελέστερον φαίνεσθαι νῦν. Κἂν πλούσιος εἰσέλθῃ[115], μεγάλα κερδαίνει· ὁρῶν γὰρ ἐκ τοσαύτης κορυφῆς[116] κατενεχθέντα τὸν σείοντα τὴν οἰκουμένην ἅπασαν, καὶ συνεσταλμένον, καὶ λαγωοῦ, καὶ βατράχου δειλότερον γεγενημένον, καὶ χωρὶς δεσμῶν τῷ κίονι τούτῳ προσηλωμένον[117], καὶ ἀντὶ ἁλύσεως τῷ φόβῳ περισφιγγόμενον, καὶ δεδοικότα, καὶ τρέμοντα, καταστέλλει[118] τὴν φλεγμονὴν, καθαιρεῖ τὸ φύσημα[119], καὶ φιλοσοφήσας, ἃ χρὴ περὶ τῶν ἀνθρωπίνων φιλοσοφεῖν, οὕτως ἄπεισιν, ἃ διὰ ῥημάτων λέγουσιν αἱ Γραφαὶ[120], ταῦτα διὰ τῶν πραγμάτων μανθάνων. « Ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· καὶ » ὁ χόρτος ἐξηράνθη, καὶ τὸ ἄνθος ἐξέπεσεν[121]· » « οἷον, ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται· » ὅτι ὡσεὶ καπνὸς αἱ ἡμέραι αὐτοῦ[122], καὶ ὅσα τοιαῦτα. Πάλιν ὁ πένης εἰσελθὼν, καὶ πρὸς τὴν ὄψιν ταύτην ἰδὼν[123], οὐκ ἐξευτελίζει ἑαυτὸν, οὐδὲ ὀδυνᾶται διὰ τὴν πτωχείαν· ἀλλὰ καὶ χάριν οἶδε[124] τῇ πενίᾳ, ὅτι χωρίον αὐτῷ γέγονεν ἄσυλον, καὶ λιμὴν ἀκύμαντος, καὶ τεῖχος ἀσφαλές. Καὶ πολλάκις ἂν ἕλοιτο[125], ταῦτα ὁρῶν, μένειν ἔνθα ἐστὶν[126], ἢ πρὸς βραχὺ[127] τὰ πάντων λαβὼν, ὕστερον καὶ ὑπὲρ αἵματος κινδυνεύειν ἑαυτοῦ. Ὁρᾷς ὡς οὐ μικρὸν κέρδος γέγονε καὶ πλουσίοις καὶ πένησι, καὶ ταπεινοῖς καὶ ὑψηλοῖς, καὶ δούλοις καὶ ἐλευθέροις ἀπὸ τῆς ἐνταῦθα τούτου καταφυγῆς; Ὁρᾷς πῶς

---

102) Ἀπὸ τῶν χειρῶν. 103) Ὅτι σᾶς λέγω ὄχι πιθανὰ ἀλλ' ἀληθῆ, τὸ βλέπετε μόνοι σας. Τὸ κείμενον ὅμως ἔχει: Κέχρηται. 104) Ἡ φράσις φαίνεται ἀτελής. Σεῖς εἶσθε μάρτυρες τούτου, οἵτινες βλέπετε τὴν συῤῥοὴν τοῦ πλήθους εἰς τὴν ἐκκλησ. 105) Αἰνίττεται τὴν ἐκκλησίαν. 106) Τα πράγματα αὐτὰ ἐφώναξαν. 107) Ἀποδεικνυομένην ὁποία εἶναι. 108) Ἐπιῤῥ. φαιδρῶς. 109) Τί ἐστι. 112) Ἀσχημοτέραν. 111) Διὰ τῆς μεταβολῆς ὡς μὲ σπόγγον ἐξαλείφει. 112) Φυκιασίδια. 113) Βάψιμον τῶν ὀφρυδίων κτλ. 114) Κατ' αὐτὸν τὸν τρόπον ἔκρινα διορθωτέον, πρὸς εὐόδωσιν τῆς συντάξεως, τὸ χωρίον. 115) Ἂν τις πλούσιος εἰσέλθῃ εἰς τὴν ἐκκλησίαν νὰ τὸν ἰδῇ. 116) Τοσούτου ὕψους. 117) Διότι ἐνηγκαλίζετο τὸν κίονα τὸν κρατοῦντα τὴν ἁγίαν τράπεζαν. 118) Ὁ πλούσιος τὴν ἰδίαν φλ. 119) Τὸν τύφον.

120) Αἱ ἱεραί. 121) Ἐκ τοῦ Ἡσαΐου. 122) Ψαλμ. τοῦ Δαβίδ. 123) Προσιδὼν τὴν ὄψιν ταύτην. 124) Εὐγνωμονεῖ. 125) Προτιμᾷ. 126) Εἰς ἣν εὑρίσκεται κατάστασιν.

127) Δι' ὀλίγον καιρόν.